στοιχείου καὶ τοῦ π καὶ τοῦ φ καὶ τοῦ χ, ψήφων τε καὶ πεσσῶν καὶ
κύβων καὶ μέτρων καὶ σταθμῶν. τὰ δὲ ποιήματα αὐτοῦ ἠφανίσθη
ὑπὸ τῶν Ἀγαμέμνονος ἀπογόνων διὰ βασκανίαν. ὑπολαμβάνω δὲ καὶ
τὸν ποιητὴν Ὅμηρον αὐτὸ τοῦτο πεπονθέναι καὶ μηδεμίαν τοῦ ἀν-
E? δρὸς τούτου μνήμην ποιήσασθαι. ὅτι ἠφανίσθη τὰ Παλαμήδους ποιή-
ματα διὰ βασκανίαν ὑπὸ Ὁμήρου. ἅπτεται δὲ καὶ τῶν μεγίστων ἀν-
δρῶν ὁ φθόνος· ὡς εἴθε μὴ παρεισέδυ τῷ βίῳ, ἢ παρεισδὺς μή μου
περιέσοιτο· ἐρρέσθω δὲ καὶ ἀπέστω. ὅσα γὰρ δέδηγμαι τὴν καρδίαν, καὶ
οἷα δέδορκα τῷ μακρῷ χρόνῳ. ἀλλ' εἴη μοι βίος πανεπάρκιος. ὄμμα
βάλοι δὲ μήποτ' ἐφ' ἡμετέραις ἐλπίσι βασκανίη· φησί τις τῶν παλαιῶν.
Ar. 45 Παλαμήδης· οἶδα δ' ἐγὼ καὶ δὴ πότερον ἐκ τοῦ Παλαμήδους.
ὡς ἐκεῖνος τὰς πλάτας ῥίψω γράφων. ὥσπερ Οἴαξ τῷ Ναυπλίῳ γράφει
τῷ πατρὶ τὸν Παλαμήδη ἐν διαφόροις πλάταις καὶ ῥιπτεῖ εἰς θάλασσαν,
ὥστε μιᾷ γέ τινι Ναυπλίῳ περιπεσεῖν. πόθεν οὖν γ' ἔκειντό μοι πλά-
ται; ταδὶ τἀγάλματα ἀντὶ πλατῶν γράφων διαρρίπτοιμι. βέλτιον πολύ.
ξύλον γέ τοι καὶ ταῦτα, κἀκεῖν' ἦν ξύλον.
Σ 46 Παλαμναῖος: φονεύς, ἢ μιαρός. παλαμναῖοι γὰρ λέγονται οἱ
διὰ χειρὸς ἀνδροφονοῦντες, παρὰ τὴν παλάμην. καὶ Ζεὺς Παλα-
μναῖος, ὁ τοὺς τοιούτους τιμωρούμενος· καὶ Προστροπαῖος, ὁ προσ-
τρέπων τὸ ἄγος αὐτοῖς. Βάβριος· οὐχὶ τὸν μῦν εἶπεν, ἢ παλα-
μναία, δέδοικα μή μου τὴν δορὰν δάκῃ φεύγων· χαίτην δ' ἔμελλε τὴν
E ἐμὴν καταισχύνειν. ὁ λέων φησὶ περὶ μυός. καὶ αὖθις· οὐκ ἄνθρω-
E ποι ἔδοξαν εἶναι ἀλλὰ δαίμονες παλαμναῖοί τινες. Αἰλιανός· ὁ δὲ
πρὸ τῆς ἐς τοὺς πολεμίους συμπλοκῆς, ὡς εἶδεν ἀπολλύμενόν οἱ τὸν
λεών, ἐνετολμήσατο κακὸν κακῷ μείζονι ὁ παλαμναῖος ἄρα ἐκεῖνος
σβέσαι. προστάττει γοῦν τὴν ἄθλιον παρθένον δίχα τεμεῖν.
Σ 47 Παλαμωμένων: χερσὶν ἐργαζομένων. τὴν ἐκ τῶν Ῥωμαίων
E παλαμήσασθαι σωτηρίαν.